poetæque (secundum prouerbium) multa mentiuntur. Nec aliam, quam huiuscemodi, decet, honorabiliorem putare. Quæ enim diuinissima, eadem etiam honorabilissima est. Talis verò bifariam duntaxat vtique fuerit. Nam & illa, quam maximè Deus habeat, diuina scientiarum est, & si qua est, quæ diuinorum sit. Hæc autem sola, vtrunque consecuta est. Deus etenim tum causa omnibus esse videtur, tum quoddã principium, & talẽ aut solus, aut præcipuè Deus habet. Cæteræ itaque omnes magis ea necessariæ sunt, nulla verò melior. Oportet autem quodammodo eius ordinem in contrarium nobis inquisitionũ, quæ à principio fiebant, constitui. Incipiunt etenim omnes (vt diximus) ab admiratione, an sic se habeat: sicut de prestigiosis, quæ per se ipsa mouentur, illi, qui nondũ speculati sunt causam: aut de solstitiis, aut de diametri incõmensurabilitate. Admirabile enim omnibus videtur, si quid, cùm non sit minimũ, non mensuretur. Decet autẽ in contrariũ, & in melius (secundũ prouerbiũ) consummare: quemadmodũ in his fit, cùm discant. Nil. n. magis vir geometricus admiretur, quàm si diameter cõmensurabilis fieret. Quænã igitur natura eius scientiæ, quæ quæritur, & quæ intentio, quam debet quęstio, & totus tractatus consequi, dictum est.

## CAPVT III.

CVm autem manifestum sit, quod primarum causarum oportet scientiam accipere, (tum enim scire vnumquodque dicimus, cùm primam causam nos nosse arbitramur (causæ verò quadrifariam dicantur, quarum vnam quidem causam dicimus esse substantiam, & quod quid erat esse: nam ipsum quare primum, refertur ad rationem vltimã, causa autem, & principium, ipsum quare primum, vnam verò materiam, & subiectum: tertiam autem vnde principium motus: quartam verò oppositam ei causam, & cuius gratia, & bonum. Hoc enim finis totius motus, & generationis est. De his autem omnibus etsi satis in De naturalibus speculatum sit, nihilò minus tamen illos quoque qui antè nos ad entium perscrutationem venerunt, & de veritate philosophati sunt, adsciscamus. Patet enim quòd illi etiam principia aliqua & causas dicunt. Proderit itaque profectò huic tractatui, nunc si illa breuiter repetemus. Aut enim aliud causæ genus inueniemus, aut certè magis illis credemus, quę nũc dictæ sunt. Plurimi igitur eorũ, qui primò philosophati sunt,

A ἀλλὰ (κατὰ τὴν παροιμίαν) πολλὰ ψεύδονται ἀοιδοί. οὔτε τῆς τοιαύτης ἄλλην χρὴ νομίζειν τιμιωτέραν. ἡ γὰρ θειοτάτη καὶ τιμιωτάτη· τοιαύτη δὲ διχῶς ἂν εἴη μόνη. ἥν τε γὰρ μάλιστ᾽ ἂν ὁ θεὸς ἔχοι, θεία τῶν ἐπιστημῶν ἐστι, κἂν εἴ τις τῶν θείων εἴη· μόνη δ᾽ αὕτη τούτων ἀμφοτέρων τετύχηκεν. ὅ, τε γὰρ θεὸς, δοκεῖ τὸ αἴτιον πᾶσιν εἶναι καὶ ἀρχή τις· καὶ τὴν τοιαύτην ἢ μόνος, ἢ μάλιστ᾽ ἂν ἔχοι ὁ θεός. ἀναγκαιότεραι B μὲν οὖν πᾶσαι αὐτῆς, ἀμείνων δ᾽ οὐδεμία. δεῖ μέντοι πως καταστῆναι τὴν τάξιν αὐτῆς εἰς τοὐναντίον ἡμῖν τῶν ἐξ ἀρχῆς ζητήσεων. ἄρχονται μὲν γὰρ, ὥσπερ εἴπομεν, ἀπὸ τοῦ θαυμάζειν πάντες εἰ οὕτως ἔχει, καθάπερ τῶν θαυμάτων ταὐτόματα τοῖς μήπω τεθεωρηκόσι τὴν αἰτίαν, ἢ περὶ τὰς τοῦ ἡλίου τροπὰς, ἢ τὴν τῆς διαμέτρου ἀσυμμετρίαν. θαυμαστὸν γὰρ εἶναι C δοκεῖ πᾶσιν, εἴ τι τῷ ἐλαχίστῳ μὴ μετρεῖται. δεῖ δὲ εἰς τοὐναντίον, καὶ τὸ ἄμεινον (κατὰ τὴν παροιμίαν) ἀποτελευτῆσαι, καθάπερ καὶ ἐν τούτοις ὅταν μάθωσιν. οὐδὲν γὰρ ἂν θαυμάσειεν οὕτως ἀνὴρ γεωμετρικὸς, ὡς εἰ γένοιτο ἡ διάμετρος μετρητή. τίς μὲν οὖν ἡ φύσις τῆς ζητουμένης ἐπιστήμης, εἴρηται, καὶ τίς ὁ σκοπὸς οὗ δεῖ τυγχάνειν τὴν ζήτησιν καὶ τὴν ὅλην μέθοδον.

D

## Κεφάλαιον γ.

Ἐπεὶ δὲ φανερὸν, ὅτι τῶν ἐξ ἀρχῆς αἰτίων δεῖ λαβεῖν ἐπιστήμην (τότε γὰρ εἰδέναι φαμὲν ἕκαστον, ὅταν τὴν πρώτην αἰτίαν οἰώμεθα γνωρίζειν) τὰ δ᾽ αἴτια λέγεται τετραχῶς, ὧν μίαν μὲν αἰτίαν φαμὲν εἶναι τὴν οὐσίαν, καὶ τὸ τί ἦν εἶναι· (ἀνάγεται γὰρ τὸ διὰ τί πρῶτον, εἰς τὸν λόγον ἔσχατον· αἴτιον δὲ καὶ ἀρχὴ, τὸ διὰ τί E πρῶτον) μίαν δὲ τὴν ὕλην καὶ τὸ ὑποκείμενον, τρίτην δὲ ὅθεν ἡ ἀρχὴ τῆς κινήσεως, τετάρτην δὲ τὴν ἀντικειμένην αἰτίαν ταύτῃ. καὶ τὸ οὗ ἕνεκεν, καὶ τὸ ἀγαθόν· (τέλος γὰρ γενέσεως πάσης τοῦτ᾽ ἐστί) τεθεωρημένων οὖν ἱκανῶς περὶ αὐτῶν ἐν τοῖς περὶ φύσεως, ὅμως παραλάβωμεν καὶ τοὺς πρότερον ἡμῶν εἰς ἐπίσκεψιν τῶν ὄντων ἐλθόντας, καὶ φιλοσοφήσαντας περὶ τῆς ἀληθείας. δῆλον γὰρ ὅτι κἀκεῖνοι F λέγουσιν ἀρχάς τινας καὶ αἰτίας. ἐπελθοῦσι γοῦν, ἔσται τι προὔργου τῇ μεθόδῳ τῇ νῦν. ἢ γὰρ ἕτερόν τι γένος εὑρήσομεν αἰτίας, ἢ ταῖς νῦν λεγομέναις μᾶλλον πιστεύσομεν. τῶν δὴ πρώτων φιλοσοφησάντων, οἱ πλεῖ-